Ξενοφῶντος, *Κυνηγετικός* κεφ. 15. 17 κ.ε.

ποδωκέστατοι μὲν οὖν εἰσιν οἱ ὄρειοι, οἱ πεδινοὶ δὲ ἧττο ν, βραδύτατοι δὲ οἱ ἕλειοι: οἱ δ᾽ ἐπὶ πάντας τοὺς τόπους πλανῆται χαλεποὶ πρὸς τοὺς δρόμους: τὰ γὰρ σύντομα ἴσασι: θέουσι γὰρ μάλιστα μὲν τὰ ἀνάντη ἢ τὰ ὁμαλά,
[18] τὰ δὲ ἀνώμαλα ἀνομοίως, τὰ δὲ κατάντη ἥκιστα. δι ωκόμενοι δέ εἰσι κατάδηλοι μάλιστα μὲν διὰ γῆς κεκινη μένης, ἐὰν ἔχωσιν ἔνιον ἐρύθημα, καὶ διὰ καλάμης διὰ τὴν ἀνταύγειαν: κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς καὶ ἐ ν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι: τὸ γὰρ φανὸν τὸ ἐν αὐτ οῖς ἐνὸν ἀντιλάμπει: ἄδηλοι δέ, ὅταν κατὰ τοὺς λίθους, τὰ ὄρη, τὰ φελλία, τὰ δασέα ἀποχωρῶσι, διὰ τὴν ὁμόχρ οιαν.
[19] προλαμβάνοντες δὲ τὰς κύνας ἐφίστανται καὶ ἀνα καθίζοντες ἐπαίρουσιν αὑτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν: καὶ ὅθεν ἂν ἀκού σωσιν ἀποτρέπονται.
[20] ὁτὲ δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ δόξαντες ἢ πεισθέ ντες ὑφ᾽ αὑτῶν, παρὰ τὰ αὐτά, διὰ τῶν αὐτῶν, ἐπαλλάτ τοντες ἅλματα, ἐμποιοῦντες ἴχνεσιν ἴχνη, ἀποχωροῦσι.
[21] καί εἰσι μακροδρομώτατοι μὲν οἱ ἐκ τῶν ψιλῶν εὑρι σκόμενοι διὰ τὸ καταφανές, βραχυδρομώτατοι δὲ οἱ ἐκ τῶν δασέων: ἐμποδὼν γὰρ τὸ σκοτεινόν.
[22]

δύο δὲ τὰ γένη ἐστὶν αὐτῶν: οἱ μὲν γὰρ μεγάλοι τὸ χρῶ μα ἐπίπερκνοι καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχο υσιν, οἱ δ᾽ ἐλάττους ἐπίξανθοι, μικρὸν τὸ λευκὸν ἔχοντε ς.

[23] τὴν δὲ οὐρὰν οἱ μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παρ άσειρον, καὶ τὰ ὄμματα οἱ μὲν χαροποί, οἱ δ᾽ ὑπόγλαυκ

οι: καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα οἱ μὲν ἐπὶ πολύ, οἱ δ᾽ ἐπὶ μικρόν.

κεφ. 7, 3 κ. ε.

[3] ἐπειδὰν δὲ γένηται τὰ σκυλάκια, ὑπὸ τῇ τεκούσῃ ἐᾶ ν καὶ μὴ ὑποβάλλειν ὑφ᾽ ἑτέραν κύνα: αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι οὐκ εἰσὶν αὔξιμοι: τὸ δὲ τῶν μητέρων καὶ τ ὸ γάλα ἀγαθὸν καὶ τὸ πνεῦμα καὶ φίλαι αἱ περιβολαί.
[4] ἐπειδὰν δὲ πλανᾶται τὰ σκυλάκια ἤδη, διδόναι γάλα μέχρι ἐνιαυτοῦ καὶ οἷς μέλλει τὸν ἅπαντα χρόνον βιώσ εσθαι, ἄλλο δὲ μηδέν: αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκ υλακίων διαστρέφουσι τὰ σκέλη, τοῖς σώμασι νόσους ἐ μποιοῦσι, καὶ τὰ ἐντὸς ἄδικα γίγνεται.
[5]

τὰ δ᾽ ὀνόματα αὐταῖς τίθεσθαι βραχέα, ἵνα εὐανάκλητ α ᾖ. εἶναι δὲ χρὴ τοιάδε: ψυχή, Θυμός, Πόρπαξ, Στύραξ, Λογχή, Λόχος, Φρουρά, Φύλαξ, Τάξις, Ξίφων, Φόναξ, Φ λέγων, Ἀλκή, Τεύχων, Ὑλεύς, Μήδας, Πόρθων, Σπέρχω ν, Ὀργή, Βρέμων, Ὕβρις, Θάλλων, Ῥώμη, Ἀνθεύς, Ἥβα, Γηθεύς, Χαρά, Λεύσων, Αὐγώ, Πολεύς, Βία, Στίχων, Σπ ουδή, Βρύας, Οἰνάς, Στέρρος, Κραύγη, Καίνων, Τύρβας, Σθένων, Αἰθήρ, Ἀκτίς, Αἰχμή, Νόης, Γνώμη, Στίβων, Ὁρ μή.

κεφ. 12, 1 κ.ε.

περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις ε ἴρηται. ὠφελήσονται δ᾽ οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔρ γου πολλά: ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάζει κ αὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει.

[2] πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπεροῦσιν: ἀνέξονται γὰρ τοὺς πό νους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτ α εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου.

[3] ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμα οἷοί τε ἔσονται ἐπιέναι καὶ τὰ παραγγελλόμενα ποιεῖν διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δὲ ἐ ν τῷ πρόσθεν οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρτερεῖν δ ύνασθαι.

[4] ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξο νται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. δυσ τυχήσαντος δὲ οἰκείου στρατοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις ἢ ἄλλως χαλεποῖς οἷοί τ᾽ ἔσονται καὶ αὐτοὶ σῴζεσθαι μὴ αἰσχρῶς καὶ ἑτέρους σῴζειν: ἡ γὰρ σ υνήθεια τοῦ ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι.

[5] καὶ ἤδη τινὲς τῶν τοιούτων πολλοῦ ὄχλου συμμάχω ν τρεφθέντος τῇ αὑτῶν εὐταξίᾳ καὶ θράσει διὰ δυσχωρί αν ἁμαρτόντας τοὺς πολεμίους νενικηκότας ἀναμαχόμ ενοι ἐτρέψαντο: ἀεὶ γὰρ ἔστι τοῖς τὰ σώματα καὶ τὰς ψυ χὰς εὖ ἔχουσιν ἐγγὺς εἶναι τοῦ εὐτυχῆσαι.

[6] εἰδότες δὲ καὶ οἱ πρόγονοι ἡμῶν ὅτι ἐντεῦθεν ηὐτύχο υν πρὸς τοὺς πολεμίους, ἐπιμέλειαν τῶν νέων ἐποιήσα ντο: σπανίζοντες γὰρ καρπῶν τὸ ἐξ ἀρχῆς ἐνόμισαν ὅμ ως τοὺς κυνηγέτας μὴ κωλύειν διὰ μηδενὸς τῶν ἐπὶ τῇ γῇ φυομένων ἀγρεύειν: